# ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ

## The supremacy of the Son

**1:1** Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς
προφήταις, **2** ἐπ᾽ ἐσχάτου[m] τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκεν
κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν·[n] **3** ὃς ὢν ἀπαύγασμα τῆς δόξης
καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως
αὐτοῦ, δι᾽ ἑαυτοῦ[o] καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν[p] ἡμῶν[q] ἐκάθισεν ἐν δεξιᾷ[r]
τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, **4** τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων ὅσῳ
διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

### *He is superior to angels*

**5** Τίνι γὰρ εἶπέν ποτε τῶν ἀγγέλων, «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε,»
καὶ πάλιν, «Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν»; **6** Ὅταν δέ,
πάλιν, εἰσαγάγῃ τὸν Πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει, «Καὶ προσκυνησάτωσαν
αὐτῷ πάντες ἄγγελοι Θεοῦ.» **7** Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, «Ὁ ποιῶν τοὺς
ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»· **8** πρὸς δὲ τὸν
Υἱόν· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·[s] ‹Ῥάβδος Εὐθύτητος› ἡ
ῥάβδος[t] τῆς βασιλείας σου. **9** Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ
τοῦτο ἔχρισέν σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.»
**10** Καί· «Σὺ κατ᾽ ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν
οἱ οὐρανοί· **11** αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις—καὶ πάντες ὡς ἱμάτιον
παλαιωθήσονται· **12** καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς[u] καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ
αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.»

**13** Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε, «Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς
ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»; **14** Οὐχὶ πάντες εἰσὶν λειτουργικὰ πνεύματα
εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

### *Do not neglect the great salvation*

**2:1** Διὰ τοῦτο, δεῖ περισσοτέρως ἡμᾶς προσέχειν[v] τοῖς ἀκουσθεῖσιν, μήποτε
παραρρυῶμεν.[w] **2** Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα
παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, **3** πῶς ἡμεῖς ἐκφευξόμεθα
τηλικαύτης ἀμελήσαντες σωτηρίας;—ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου,

---

[m] εσχατου **f**$^{35}$ 𝔓$^{46}$אA,B [95%] RP,HF,OC,CP,NU ¦ εσχατων [5%] TR
[n] τους αιωνας εποιησεν **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ ~ 312 𝔓$^{46}$אA,B,I [3%] NU
[o] αυτου δι εαυτου **f**$^{35}$ (89.3%) RP,HF,OC,TR,CP ¦ 1 אA,B (5.2%) NU ¦ 23 (1%) ¦ 121 (3.4%) ¦ ~ 21 𝔓$^{46}$ (0.3%) ¦ part of a larger omission [homoioteleuton] (0.7%)
[p] ποιησαμενος των αμαρτιων **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ~ 231 𝔓$^{46}$אA,B [5%] NU
[q] ημων **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B [3%] NU
[r] δεξια **f**$^{35}$ 𝔓$^{46}$אA,B [90%] RP,HF,OC,TR,NU ¦ 1 του θρονου [10%] CP
[s] αιωνος **f**$^{35}$ (98.6%) RP,HF,OC,TR,CP ¦ 1 και η 𝔓$^{46}$אA,B (1.4%) NU
[t] ευθυτητος η ραβδος **f**$^{35}$ (98.3%) RP,HF,OC,TR,CP ¦ της 13 𝔓$^{46}$A,B (1.2%) NU ¦ 13 (0.3%) ¦ --- א (I take it that 'Scepter of Uprightness' is a proper name, like 'Excalibur'; the Alexandrians missed it.)
[u] αυτους **f**$^{35}$ (98.8%) RP,HF,OC,TR,CP ¦ 1 ως ιματιον 𝔓$^{46}$אA,B (1.2%) NU
[v] ημας προσεχειν **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓$^{46}$אA,B [5%] NU
[w] παραρρυωμεν **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ παραρυωμεν 𝔓$^{46}$אA,B [10%] NU

ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, **4** συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις[x] καὶ τέρασιν καὶ ποικίλαις δυνάμεσιν καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν.

*Temporarily lower than angels*

**5** Οὐ γὰρ ἀγγέλοις ὑπέταξεν τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν·
**6** διεμαρτύρατο δέ πού τις λέγων· «Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; **7** Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν,[y] **8** πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ.» Ἐν γὰρ τῷ[z] ὑποτάξαι αὐτῷ[a] τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

**9** Τὸν δὲ ‹βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον› βλέπομεν, Ἰησοῦν (διὰ τὸ πάθημα τοῦ θανάτου), ‹δόξῃ καὶ τιμῇ ἐστεφανωμένον›—ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

*"Bringing many sons into glory"*

**10** Ἔπρεπεν γὰρ αὐτῷ, δι᾽ ὃν τὰ πάντα καὶ δι᾽ οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν Ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. **11** Ὅ
τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, **12** λέγων, «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν
μέσῳ ἐκκλησίας ὑμνήσω σε»· **13** καὶ πάλιν, «Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ»· καὶ
πάλιν, «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός.»

**14** Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν σαρκὸς καὶ αἵματος,[b] καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ
θανάτου—τοῦτ᾽ ἔστιν τὸν διάβολον—**15** καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου
διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. **16** (Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται,
ἀλλὰ σπέρματος Ἀβραὰμ[c] ἐπιλαμβάνεται.) **17** Ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς
ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεύς, τὰ πρὸς τὸν Θεόν,
εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. **18** Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς,
δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

*The Apostle and High Priest of our confession*

**3:1** Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν
Ἀπόστολον καὶ Ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, Ἰησοῦν Χριστόν,[d] **2** πιστὸν ὄντα τῷ

---

[x] σημειοις **f**$^{35}$ [35%] ¦ 1 τε 𝔓$^{46}$אA,B [65%] RP,HF,OC,TR,CP,NU
[y] αυτον **f**$^{35}$ 𝔓$^{46}$B (74.7%) RP,HF,OC,NU ¦ 1 και κατεστησας 1 επι τα εργα των χειρων σου אA,C (25.3%) TR,CP
[z] γαρ τω **f**$^{35}$ 𝔓$^{46}$A,C [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 אB [3%] NU
[a] αυτω **f**$^{35}$ אA,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$B [2%]
[b] σαρκος και αιματος **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ ~ 321 𝔓$^{46}$אA,B,C [3%] NU
[c] ἁβρααμ **f**$^{35}$ [40%] ¦ ἀβρααμ *rell* (This name is aspirated throughout the book, and the statement of evidence also obtains throughout the book.) [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.]
[d] ιησουν χριστον **f**$^{35}$ [97%] RP,HF,OC,CP ¦ 1 𝔓$^{46}$אA,B,C [3%] NU ¦ ~ 21 TR

ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς[e] ἐν ὅλῳ[f] τῷ οἴκῳ αὐτοῦ. **3** Πλείονος γὰρ δόξης
οὗτος[g] παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον[h] πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ
κατασκευάσας αὐτόν **4**—πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ[i] πάντα
κατασκευάσας Θεός—**5** καί, Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων,
εἰς μαρτύριον τῶν λαληθησομένων, **6** Χριστὸς δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ
οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ[j] τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους
βεβαίαν[k] κατάσχωμεν.

### *The Holy Spirit's warning*

**7** Διό—καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· «Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ
ἀκούσητε, **8** μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν
ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, **9** οὗ ἐπείρασάν με[l] οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν
με[m] καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα[n] ἔτη. **10** Διὸ προσώχθισα[o] τῇ γενεᾷ ἐκείνῃ[p]
καὶ εἶπον,[q] ‹Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου›· **11** ὡς
ὤμοσα ἐν τῇ ὀργῇ μου, ‹Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου› »—**12** βλέπετε,
ἀδελφοί, μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ
Θεοῦ ζῶντος· **13** ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ
‹Σήμερον› καλεῖται, ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις[r] ἀπάτῃ τῆς ἁμαρτίας. **14** Μέτοχοι
γὰρ γεγόναμεν τοῦ Χριστοῦ,[s] ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους
βεβαίαν κατάσχωμεν, **15** ἐν τῷ λέγεσθαι, «Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,
μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ.» **16** Τίνες γὰρ
ἀκούσαντες παρεπίκραναν; Ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέος;[t]
**17** Τίσιν δὲ προσώχθισεν τεσσαράκοντα[u] ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα
ἔπεσεν[v] ἐν τῇ ἐρήμῳ; **18** Τίσιν δὲ ὤμοσεν μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν
αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασιν; **19** Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν διὰ[w]

---

[e] μωυσης *rell* ¦ μωσης ℵA,B [10%] TR (TR has the short form of the name throughout the book; the attestation varies, but does not exceed 25%.)
[f] ολω **f**$^{35}$ ℵA,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{13,46v}$B [2%]
[g] δοξης ουτος **f**$^{35}$ 𝔓$^{13}$ [97%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓$^{46v}$ℵA,B,C [3%] NU
[h] καθ' όσον *rell* ¦ καθόσον **f**$^{35}$ [30%] (I include this for the record, and so as not to lose sight of it, but since there is evidently no difference in meaning I stay with the conventional pointing. Because of the *theta* there is no ambiguity.)
[i] τα **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{13,46}$ℵA,B,C [3%] NU
[j] εανπερ **f**$^{35}$ 𝔓$^{46}$A,C [97%] RP,HF,OC,TR,CP[NU] ¦ εαν 𝔓$^{13}$B [3%] ¦ καν ℵ
[k] μεχρι τελους βεβαιαν **f**$^{35}$ ℵA,C (98%) RP,HF,OC,TR,CP ¦ 3 (1.2%) ¦ --- 𝔓$^{13,46}$B (0.8%) NU
[l] με **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{13,46}$ℵA,B,C [3%] NU
[m] εδοκιμασαν με **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ εν δοκιμασια 𝔓$^{13,46}$ℵA,B,C [3%] NU
[n] τεσσαρακοντα **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ τεσσερακοντα (𝔓$^{13}$)𝔓$^{46}$ℵA,B,C [3%] NU
[o] προσωχθισα *rell* ¦ προσωχθησα [15%]
[p] εκεινη **f**$^{35}$ C [97%] RP,HF,OC,TR,CP ¦ ταυτη 𝔓$^{13,46}$ℵA,B [3%] NU
[q] ειπον *rell* ¦ ειπα CP
[r] εξ υμων τις **f**$^{35}$ B [90%] RP,HF,OC,CP ¦ ~ 312 𝔓$^{13}$ℵA,C [10%] TR,NU
[s] γεγοναμεν του χριστου **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ~ 231 (𝔓$^{13}$)𝔓$^{46}$ℵA,B,C [5%] NU
[t] μωυσεος **f**$^{35}$ [40%] CP ¦ μωυσεως ℵB,C [45%] RP,HF,OC,NU ¦ μωσεως A [15%] TR
[u] τεσσαρακοντα **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP ¦ τεσσερακοντα 𝔓$^{46}$ℵA,B,C [2%] NU
[v] επεσεν *rell* ¦ επεσον [18%] ¦ επεσαν [2%]
[w] δια **f**$^{35}$ C [40%] ¦ δι *rell*

ἀπιστίαν. **4:1** Φοβηθῶμεν οὖν, μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν
κατάπαυσιν αὐτοῦ, δοκῇ[x] τις ἐξ ὑμῶν ὑστερηκέναι.

*There is still a promised rest*

**2** Καί, γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι,[y] ἀλλ᾽ οὐκ ὠφέλησεν ὁ λόγος
τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένους[z] τῇ πίστει τοῖς ἀκούσασιν. **3** Εἰσερχόμεθα
γὰρ εἰς τὴν[a] κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν, «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου,
‹Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου› »—καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς
κόσμου γενηθέντων, **4** εἴρηκεν γάρ που περὶ τῆς ἑβδόμης οὕτως, «Καὶ κατέπαυσεν ὁ
Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ»· **5** καὶ ἐν τούτῳ, πάλιν,
«Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.» **6** Ἐπεὶ οὖν ἀπολείπεται τινὰς εἰσελθεῖν
εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι᾽ ἀπείθειαν, **7** πάλιν τινὰ
ὁρίζει ἡμέραν, «Σήμερον,» ἐν Δαυὶδ λέγων, μετὰ τοσοῦτον χρόνον (καθὼς εἴρηται),[b]
«Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.» **8** Εἰ
γὰρ αὐτοὺς[c] Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας.
**9** Ἄρα, ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. **10** Ὁ γὰρ εἰσελθὼν εἰς τὴν
κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων
ὁ Θεός.

*We must give an account*

**11** Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις
ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. **12** Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργής, καὶ
τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς
τε[d] καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καί, κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν
καρδίας. **13** Καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ
τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

## We have a Great High Priest

**4:14** Ἔχοντες οὖν Ἀρχιερέα Μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν
τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. **15** Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον
συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον[e] δὲ κατὰ πάντα, καθ᾽ ὁμοιότητα,
χωρὶς ἁμαρτίας. **16** Προσερχώμεθα[f] οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα
λάβωμεν ἔλεον[g] καὶ χάριν εὕρωμεν, εἰς εὔκαιρον βοήθειαν.

---

[x] δοκη *rell* ¦ δοκει [25%]

[y] κακεινοι **f**$^{35}$ 𝔓$^{46}$אA,B,C [90%] RP,HF,OC,TR,NU ¦ εκεινοι [10%] CP

[z] συγκεκραμενους **f**$^{35}$ [83%] RP,HF,OC,CP [συγκεκραμμενους 10%] ¦ συγκεκραμενος TR ¦ συγκεκερασμενους (𝔓$^{46}$A,B)C [7%] NU ¦ συνκεκερασμενος א

[a] την **f**$^{35}$ אA,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{13v,46}$B [1%]

[b] ειρηται **f**$^{35}$ [92%] RP,HF,OC,TR,CP ¦ προειρηται 𝔓$^{46}$אA,C [5%] NU ¦ προειρηκεν B [3%]

[c] αυτους **f**$^{35}$ 𝔓$^{46}$אA,B,C [85%] RP,HF,OC,TR,NU ¦ 1 ο [5%] ¦ αυτος [10%] CP

[d] τε **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B,C [10%] NU

[e] πεπειραμενον **f**$^{35}$ C [98%] RP,HF,OC,TR,CP ¦ πεπειρασμενον 𝔓$^{46v}$אA,B [2%] NU

[f] προσερχωμεθα *rell* ¦ προσερχομεθα [25%]

[g] ελεον **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ ελεος 𝔓$^{46}$אA,B,C [4%] NU

*Qualifications for high priesthood*

**5:1** Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται
τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, **2** μετριοπαθεῖν
δυνάμενος τοῖς ἀγνοοῦσιν καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν.
**3** Καὶ διὰ ταύτην[h] ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ περὶ ἑαυτοῦ[i] προσφέρειν
ὑπὲρ[j] ἁμαρτιῶν. **4** Καί, οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ[k] καλούμενος ὑπὸ τοῦ
Θεοῦ, καθάπερ[l] καὶ[m] Ἀαρών.

*Christ meets the qualifications*

**5** Οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερέα, ἀλλ᾽ ὁ λαλήσας
πρὸς αὐτόν, «Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε»· **6** καθὼς καὶ ἐν ἑτέρῳ
λέγει, «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ»· **7** ὅς, ἐν ταῖς ἡμέραις
τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ
θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων, προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ
τῆς εὐλαβείας, **8** καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ᾽ ὧν ἔπαθεν τὴν ὑπακοήν. **9** Καὶ
τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν[n] αἴτιος σωτηρίας αἰωνίου,
**10** προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ Ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ· **11** περὶ οὗ
πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.

*"Let's move on toward perfection"*

**12** Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ
διδάσκειν ὑμᾶς τινὰ τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ γεγόνατε χρείαν
ἔχοντες γάλακτος, καὶ[o] οὐ στερεᾶς τροφῆς. **13** Πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος
λόγου δικαιοσύνης, νήπιος γάρ ἐστιν. **14** Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ
τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

**6:1** Διό, ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα
φερώμεθα,[p] μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ
πίστεως ἐπὶ Θεόν, **2** βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε
νεκρῶν, καὶ κρίματος αἰωνίου. **3** Καὶ τοῦτο ποιήσομεν[q] ἐάνπερ ἐπιτρέπῃ[r] ὁ Θεός.

No one kills Jesus twice

**4** Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς
ἐπουρανίου καὶ μετόχους γενηθέντας Πνεύματος Ἁγίου, **5** καὶ καλὸν γευσαμένους

[h] δια ταυτην **f**$^{35}$ (90.7%) RP,HF,OC,TR,CP ¦ δι αυτην 𝔓$^{46}$ℵA,B,C (6.2%) NU ¦ 1 ταυτης (1.9%) ¦ 1 ταυτα (1.2%)

[i] εαυτου **f**$^{35}$ ℵA,C [98%] RP,HF,OC,TR,CP ¦ αυτου 𝔓$^{46}$B [2%] NU

[j] υπερ **f**$^{35}$ (93.1%) RP,HF,OC,TR,CP ¦ περι 𝔓$^{46}$ℵA,B,C (6.4%) NU ¦ --- (0.5%)

[k] αλλα **f**$^{35}$ 𝔓$^{46}$ℵA,B,C [70%] RP,OC,CP,NU ¦ αλλ ο [30%] HF,TR

[l] καθαπερ **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ καθωσπερ 𝔓$^{46}$ℵA,B [3%] NU ¦ καθως C

[m] και **f**$^{35}$ 𝔓$^{46}$ℵA,B,C [95%] RP,HF,OC,CP,NU ¦ 1 ο [5%] TR

[n] τοις υπακουουσιν αυτω πασιν **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ~ 4123 𝔓$^{46}$ℵA,B,C [5%] NU

[o] και **f**$^{35}$ A,B [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$ℵC [2%]

[p] φερωμεθα *rell* ¦ φερομεθα [15%]

[q] ποιησομεν **f**$^{35}$ 𝔓$^{46}$ℵB,I$^{v}$ [40%] OC,TR,CP,NU ¦ ποιησωμεν A,C [59%] RP,HF ¦ ποιησαντες [1%]

[r] επιτρεπη *rell* ¦ επιτρεπει [15%]

Θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, **6** καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν—ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας.

**7** Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ᾽ αὐτῆς πολλάκις ἐρχόμενον[s] ὑετὸν καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι᾽ οὓς καὶ γεωργεῖται μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ·
**8** ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν.

A word of encouragement

**9** Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείσσονα[t]—καὶ ἐχόμενα σωτηρίας—εἰ
καὶ οὕτως λαλοῦμεν. **10** Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ
κόπου[u] τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ
διακονοῦντες. **11** Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδήν,
πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος, ἄχρι τέλους· **12** ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ
δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

*Our secure anchor*

**13** Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ᾽ οὐδενὸς εἶχεν μείζονος
ὀμόσαι, ὤμοσεν καθ᾽ ἑαυτοῦ, **14** λέγων, «Ἦ μὴν[v] εὐλογῶν εὐλογήσω σε καὶ
πληθύνων πληθυνῶ σε.» **15** Καὶ οὕτως, μακροθυμήσας, ἐπέτυχεν τῆς ἐπαγγελίας.

**16** Ἄνθρωποι μὲν[w] γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσιν, καὶ πάσης αὐτοῖς ἀντιλογίας
πέρας εἰς βεβαίωσιν ὁ ὅρκος, **17** ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς
κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ,
**18** ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι[x] Θεόν, ἰσχυρὰν
παράκλησιν ἔχωμεν,[y] οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος· **19** ἣν ὡς
ἄγκυραν ἔχομεν τῆς ψυχῆς, ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ
ἐσώτερον τοῦ καταπετάσματος, **20** ὅπου Πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς,
κατὰ τὴν τάξιν Μελχισεδὲκ Ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

## Melchizedek, priest and king

**7:1** Οὗτος γὰρ ὁ Μελχισεδέκ—βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ[z] ὑψίστου, ὁ[a]
συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων καὶ εὐλογήσας
αὐτόν, **2** ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ (πρῶτον μὲν ἑρμηνευόμενος
βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστιν βασιλεὺς εἰρήνης),
**3** ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος· μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων,
ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ—μένει ἱερεὺς εἰς τὸ διηνεκές.[b]

---

[s] πολλακις ερχομενον **f**[35] A,C [92%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓[46]אB [5%] NU ¦ 2 [1%] ¦ one other variant [2%]

[t] κρεισσονα **f**[35] 𝔓[46]אA,B,C [85%] RP,HF,CP,NU ¦ κρειττονα [15%] OC,TR

[u] του κοπου **f**[35] (87.8%) RP,HF,OC,TR,CP ¦ 12 και (1%) ¦ 1 σκοπου (1.9%) ¦ --- 𝔓[46]אA,B,C (9.3%) NU

[v] η μην **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ ει 2 𝔓[46]אA,B [8%] NU ¦ ει μη C ¦ two other readings [2%] (If η is the older form, how could the change, ει→η, come about in the middle ages?)

[w] μεν **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]אA,B [3%] NU

[x] ψευσασθαι **f**[35] B [95%] RP,HF,OC,TR,CP ¦ 1 τον 𝔓[46]אA,C [5%] [NU]

[y] εχωμεν **f**[35] 𝔓[46]אA,B,C [70%] RP,HF,OC,TR,CP,NU ¦ εχομεν [30%]

[z] του *rell* ¦ --- CP

[a] ο **f**[35] 𝔓[46v]C [92%] RP,HF,OC,TR,NU ¦ ος אA,B,I [8%] ¦ ω CP

[b] διηνεκες *rell* ¦ 1 εν ω οτι και του αβρααμ προετιμηθη CP

*Melchizedek greater than Abraham*

**4** Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ[c] δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων
ὁ πατριάρχης· **5** Καί, οἱ μὲν ἐκ τῶν υἱῶν Λευῒ τὴν ἱερατείαν λαμβάνοντες ἐντολὴν
ἔχουσιν ἀποδεκατοῦν τὸν λαόν, κατὰ τὸν νόμον—τοῦτ᾽ ἔστιν, τοὺς ἀδελφοὺς
αὐτῶν—καίπερ ἐξεληλυθότας[d] ἐκ τῆς ὀσφύος Ἀβραάμ· **6** ὁ δὲ μὴ γενεαλογούμενος ἐξ
αὐτῶν δεδεκάτωκεν τὸν[e] Ἀβραὰμ καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν. **7** Χωρὶς
δὲ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. **8** Καί, ὧδε μὲν
δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ **9**—
καὶ ὡς ἔπος εἰπεῖν, διὰ[f] Ἀβραὰμ καὶ Λευΐ, ὁ δεκάτας λαμβάνων, δεδεκάτωται, **10** ἔτι
γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ ὁ[g] Μελχισεδέκ.

*Melchizedek greater than Aaron*

**11** Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν (ὁ λαὸς γὰρ ἐπ᾽ αὐτῇ[h]
νενομοθέτητο),[i] τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ
οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; **12** (Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ
ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.) **13** Ἐφ᾽ ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας
μετέσχηκεν, ἀφ᾽ ἧς οὐδεὶς προσέσχηκεν τῷ θυσιαστηρίῳ. **14** Πρόδηλον γὰρ ὅτι ἐξ
Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης[j] Μωϋσῆς[k,l]
ἐλάλησεν. **15** Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν εἰ κατὰ τὴν ὁμοιότητα
Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, **16** ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκινῆς[m]
γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. **17** Μαρτυρεῖ[n] γὰρ ὅτι «Σὺ[o] ἱερεὺς εἰς
τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.»

**18** Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ
ἀνωφελές **19** (οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος), ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι᾽
ἧς ἐγγίζομεν τῷ Θεῷ.

*Our eternal High Priest represents us eternally*

**20** Καί, καθ᾽ ὅσον οὐ χωρὶς ὁρκωμοσίας **21**—οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν
ἱερεῖς γεγονότες, ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτόν· «Ὤμοσεν
Κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν

---

[c] και **f**$^{35}$ ℵA,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$B [2%]

[d] εξεληλυθοτας *rell* ¦ εξεληλυθοτες CP

[e] τον **f**$^{35}$ A [96%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵB,C [4%] NU

[f] δια **f**$^{35}$ A,C [92%] RP,HF,OC,TR,CP ¦ δι 𝔓$^{46}$ℵB [8%] NU

[g] ο **f**$^{35}$ A [92%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵB,C [8%] NU

[h] αυτη **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ αυτης 𝔓$^{46}$ℵA,B,C [5%] NU ¦ αυτην [5%]

[i] νενομοθετητο **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP ¦ νενομοθετηται 𝔓$^{46}$ℵA,B,C [6%] NU

[j] ιερωσυνης **f**$^{35}$ (90.4%) RP,HF,OC,TR,CP ¦ ιεροσυνης (6.4%) ¦ ιερεων 𝔓$^{46}$ℵA,B,C (3.1%) NU (Wherever ιερωσυνης occurs, the alternate spelling also occurs, its attestation not exceeding 10%.)

[k] μωυσης **f**$^{35}$ 𝔓$^{46}$ℵA,B,C (75.3%) RP,HF,OC,CP,NU ¦ μωσης (24.7%) TR

[l] ουδεν περι ιερωσυνης μωυσης **f**$^{35}$ (95.1%) RP,HF,OC,TR,CP ¦ ~ 2314 A,B,C (1.7%) NU ¦ ~ 2341 𝔓$^{46}$ℵ (1.9%) ¦ ~ 1423 (1.2%)

[m] σαρκινης **f**$^{35}$ 𝔓$^{46}$ℵA,B,C [50%] NU ¦ σαρκικης [50%] RP,HF,OC,TR,CP

[n] μαρτυρει **f**$^{35}$ C [97%] RP,HF,OC,TR,CP ¦ μαρτυρειται 𝔓$^{46}$ℵA,B [3%] NU

[o] συ **f**$^{35}$ ℵA,B,C [70%] RP,HF,OC,TR,CP,NU ¦ 1 ει 𝔓$^{46}$ [29%] ¦ --- [1%]

Μελχισεδέκ»[p]—**22** κατὰ τοσοῦτον[q] κρείττονος[r] διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.
**23** Καί, οἱ μὲν πλείονές εἰσιν γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·
**24** ὁ δέ, διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. **25** Ὅθεν
καὶ σῴζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι᾽ αὐτοῦ τῷ Θεῷ, πάντοτε
ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ[s] αὐτῶν.

**26** Τοιοῦτος γὰρ ἡμῖν[t] ἔπρεπεν ἀρχιερεύς—ὅσιος, ἄκακος, ἀμίαντος,
κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος—**27** ὃς
οὐκ ἔχει καθ᾽ ἡμέραν[u] ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων
ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ
ἑαυτὸν ἀνενέγκας. **28** Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας
ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας, τῆς μετὰ τὸν νόμον, Υἱὸν εἰς τὸν αἰῶνα
τετελειωμένον.

## Priest and Mediator of a better covenant

**8:1** Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· Τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὃς ἐκάθισεν ἐν
δεξιᾷ τοῦ θρόνου τῆς Μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, **2** τῶν ἁγίων Λειτουργός, καὶ
τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ[v] οὐκ ἄνθρωπος. **3** Πᾶς γὰρ
ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται (ὅθεν ἀναγκαῖον ἔχειν τι
καὶ τοῦτον ὃ προσενέγκοι)[w] **4**—εἰ μὲν γὰρ[x] ἦν ἐπὶ γῆς, οὐδ᾽ ἂν ἦν ἱερεύς, ὄντων τῶν
ἱερέων[y] τῶν προσφερόντων κατὰ τὸν[z] νόμον τὰ δῶρα· **5** οἵτινες ὑποδείγματι καὶ σκιᾷ
λατρεύουσιν τῶν ἐπουρανίων (καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν
σκηνήν· «Ὅρα γάρ,» φησιν, «ποιήσεις[a] πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ
ὄρει»)—**6** νυνὶ[b] δὲ διαφορωτέρας τέτευχεν[c] λειτουργίας, ὅσῳ καὶ[d] κρείττονός ἐστιν
διαθήκης Μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

### *A new covenant*

**7** Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος·
**8** μεμφόμενος γὰρ αὐτοῖς[e] λέγει·

---

[p] κατα την ταξιν μελχισεδεκ **f**[35] A (97.9%) RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]B,C (1.9%) NU ¦ ℵ omits whole quote
[q] τοσουτον **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ τοσουτο **𝔓**[46]ℵA,B,C [5%] NU ¦ τοσουτω [1%]
[r] κρειττονος **f**[35] **𝔓**[46]A [96%] RP,HF,OC,TR,CP ¦ και 1 ℵB,C [3%] [NU] ¦ --- [1%]
[s] εντυγχανειν υπερ *rell* ¦ ~ 21 CP
[t] ημιν **f**[35] ℵC [98%] RP,HF,OC,TR,CP ¦ 1 και **𝔓**[46]A,B [2%] NU
[u] καθ᾽ ἡμεραν *rell* ¦ καθημέραν **f**[35] [30%] (I include this for the record, and so as not to lose sight of it, but since there is evidently no difference in meaning I stay with the conventional pointing. Because of the *theta* there is no ambiguity.)
[v] και **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵB [3%] NU
[w] προσενεγκοι **f**[35] [20%] ¦ προσενεγκη *rell* (Optative or Subjunctive?)
[x] γαρ **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ουν **𝔓**[46]ℵA,B [4%] NU
[y] των ιερεων **f**[35] (93.8%) RP,HF,OC,TR,CP ¦ 2 (1.7%) ¦ --- **𝔓**[46]ℵA,B (4.5%) NU
[z] τον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [5%] NU
[a] ποιησεις **f**[35] ℵA,B [95%] RP,HF,OC,CP,NU ¦ ποιησης [5%] TR ¦ --- **𝔓**[46]
[b] νυνι **f**[35] ℵA [98%] RP,HF,OC,TR,CP[NU] ¦ νυν **𝔓**[46]B [2%]
[c] τετευχεν **f**[35] B [40%] OC,TR ¦ τετυχεν **𝔓**[46]ℵA [50%] RP,HF,NU ¦ τετυχηκεν [10%] CP (These are alternate forms of the perfect [apparently], so the meaning remains the same; τετυχεν appears to be a simplification of the older form.)
[d] και *rell* ¦ --- [10%] CP
[e] αυτοις **f**[35] **𝔓**[46]B [90%] RP,HF,OC,TR,CP ¦ αυτους ℵA,I [10%] NU

«Ἰδού, ἡμέραι ἔρχονται,» λέγει Κύριος, «καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ
καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν—**9** οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα
τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν
αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ
ἠμέλησα αὐτῶν,» λέγει Κύριος.

**10** «Ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας
ἐκείνας,» λέγει Κύριος, «διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ
καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν καὶ αὐτοὶ ἔσονταί
μοι εἰς λαόν. **11** Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον[f] αὐτοῦ καὶ ἕκαστος
τὸν ἀδελφὸν αὐτοῦ, λέγων, ‹Γνῶθι τὸν Κύριον›· ὅτι πάντες εἰδήσουσίν με, ἀπὸ
μικροῦ αὐτῶν[g] ἕως μεγάλου αὐτῶν. **12** Ὅτι ἵλεως[h] ἔσομαι ταῖς ἀδικίαις αὐτῶν,
καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν[i] οὐ μὴ μνησθῶ ἔτι.»

**13** Ἐν τῷ λέγειν ‹καινὴν› πεπαλαίωκεν τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ
γηράσκον ἐγγὺς ἀφανισμοῦ.

### *The earthly sanctuary*

**9:1** Εἶχεν μὲν οὖν καὶ[j] ἡ πρώτη[k] δικαιώματα λατρείας τό τε ἅγιον κοσμικόν.
**2** Σκηνὴ γὰρ κατεσκευάσθη· ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις
τῶν ἄρτων, ἥτις λέγεται Ἅγια· **3** μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη
Ἅγια Ἁγίων, **4** χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης
περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ
ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης· **5** ὑπεράνω δὲ αὐτῆς
Χερουβὶμ[l] δόξης κατασκιάζοντα τὸ ἱλαστήριον (περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ
μέρος).

### The service of that sanctuary

**6** Τούτων δὲ οὕτως κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς
εἰσίασιν οἱ ἱερεῖς, τὰς λατρείας ἐπιτελοῦντες, **7** εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ
μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ
ἀγνοημάτων· **8** τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ Ἁγίου μήπω πεφανερῶσθαι[m] τὴν
τῶν Ἁγίων ὁδὸν ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν· **9** ἥτις παραβολὴ εἰς τὸν
καιρὸν τὸν[n] ἐνεστηκότα, καθ’ ὃν[o] δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνάμεναι
κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα—**10** μόνον ἐπὶ βρώμασιν καὶ πόμασιν καὶ

---

[f] πλησιον **f**[35] [35%] TR ¦ πολιτην 𝔓[46]אA,B [65%] RP,HF,OC,CP,NU

[g] αυτων **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ --- 𝔓[46]אA,B [15%] NU

[h] ιλεως *rell* ¦ ιλεος [15%]

[i] και των ανομιων αυτων **f**[35] A (94.4%) RP,HF,OC,TR,CP ¦ 123 (1.8%) ¦ --- 𝔓[46]אB (3.5%) NU ¦ 12 αδικιων 4 (0.4%)

[j] και **f**[35] אA [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓[46v]B [3%]

[k] πρωτη **f**[35] 𝔓[46]אA,B [70%] RP,HF,CP,NU ¦ 1 σκηνη [30%] OC,TR

[l] χερουβιμ **f**[35] (A) [98%] RP,HF,OC,TR,CP ¦ χερουβιν 𝔓[46]א (B) [2%] NU

[m] πεφανερωσθαι *rell* ¦ πεφανωσθαι CP

[n] τον *rell* ¦ τουτον CP

[o] ον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ ην אA,B [5%] NU

διαφόροις βαπτισμοῖς καὶ[p] δικαιώμασιν[q] σαρκός, μέχρι καιροῦ διορθώσεως
ἐπικείμενα.

*Christ serves in the heavenly sanctuary*

**11** Χριστὸς δὲ παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων[r] ἀγαθῶν διὰ τῆς μείζονος
καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τοῦτ᾽ ἔστιν, οὐ ταύτης τῆς κτίσεως, **12** οὐδὲ
δι᾽ αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ
Ἅγια, αἰωνίαν λύτρωσιν εὑρόμενος.[s] **13** Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων,[t] καὶ
σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς
καθαρότητα, **14** πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος Ἁγίου[u] ἑαυτὸν
προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν[v] ἀπὸ νεκρῶν ἔργων εἰς
τὸ λατρεύειν Θεῷ ζῶντι; **15** Καὶ διὰ τοῦτο διαθήκης καινῆς Μεσίτης ἐστίν, ὅπως—
θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων—τὴν
ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

*The earthly sanctuary inaugurated with blood*

**16** Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου·[w] **17** διαθήκη
γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. **18** Ὅθεν οὐδὲ[x] ἡ
πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται· **19** λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ[y] νόμον
ὑπὸ Μωϋσέος[z] παντὶ τῷ[a] λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων,[b] μετὰ ὕδατος
καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισεν,[c]
**20** λέγων, «Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.» **21** Καὶ τὴν
σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισεν. **22** Καὶ
σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ
γίνεται ἄφεσις.

*The heavenly sanctuary inaugurated with Christ's blood*

**23** Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι,
αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσιν θυσίαις παρὰ ταύτας.[d] **24** Οὐ γὰρ εἰς χειροποίητα
ἅγια εἰσῆλθεν[e] ὁ[f] Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν οὐρανόν, νῦν

---

[p] και **f**35 B (95.4%) RP,HF,OC,TR,CP ¦ --- 𝔓46אA (4.6%) NU

[q] δικαιωμασιν **f**35 (94.2%) RP,HF,OC,TR,CP ¦ δικαιωματα 𝔓46אA,B (5.5%) NU ¦ two other readings (0.4%)

[r] μελλοντων **f**35 אA (97.5%) RP,HF,OC,TR,CP ¦ 1 των (1.4%) ¦ γενομενων (𝔓46)B (1.1%) NU

[s] ευρομενος **f**35 [20%] ¦ ευραμενος *rell* (2nd aorist or 1st aorist? There is apparently no difference in meaning.)

[t] ταυρων και τραγων **f**35 [97%] RP,HF,OC,TR,CP ¦ ~ 321 𝔓46אA,B [3%] NU

[u] αγιου **f**35 [29%] ¦ 1 αιωνιου [1%] ¦ αιωνιου *rell* (The majority reading is certainly inviting.)

[v] υμων **f**35 א [85%] RP,HF,OC,TR ¦ ημων A [15%] CP,NU (Codex B is no longer available from here to the end.)

[w] διαθεμενου **f**35 אA,B [88%] RP,HF,OC,TR,NU ¦ διατιθεμενου [12%] CP

[x] ουδε **f**35 A,C [55%] NU ¦ ουδ א [45%] RP,HF,OC,TR,CP ¦ ουθ 𝔓46

[y] κατα **f**35 א [85%] RP,HF,TR,CP ¦ 1 τον 𝔓46A,C [15%] OC,NU

[z] μωυσεος **f**35 [35%] CP ¦ μωυσεως אC [45%] RP,HF,OC,NU ¦ μωσεως A [20%] TR

[a] τω *rell* ¦ --- CP

[b] και τραγων **f**35 (78%) RP,HF,OC,TR,CP ¦ 1 των 2 אA,C (5.1%) [NU] ¦ --- 𝔓46 (16.2%) ¦ two other readings (0.7%)

[c] ερραντισεν **f**35 [85%] RP,HF,OC,TR,CP,N-A ¦ εραντισεν 𝔓46אA,C [15%] UBS (Also in verse 21.)

[d] ταυτας *rell* ¦ ταυταις CP

[e] αγια εισηλθεν **f**35 C [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓46אA [5%] NU

[f] ο **f**35 [95%] RP,HF,OC,TR,CP ¦ --- 𝔓46אA,C [5%] NU

ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· **25** οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ
ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ Ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ
**26**—ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νῦν[g] δέ, ἅπαξ ἐπὶ
συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν[h] ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.
**27** Καί, καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις,
**28** οὕτως καὶ[i] ὁ Χριστός, ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας—ἐκ
δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

### *Animal blood is insufficient*

**10:1** Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν
πραγμάτων, κατ᾽ ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς
οὐδέποτε δύναται[j] τοὺς προσερχομένους τελειῶσαι. **2** Ἐπεὶ οὐκ[k] ἂν ἐπαύσαντο
προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας,
ἅπαξ κεκαθαρμένους;[l] **3** Ἀλλ᾽ ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ᾽ ἐνιαυτόν,
**4** ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

### *"I have come to do your will, O God"*

**5** Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας,
σῶμα δὲ κατηρτίσω μοι· **6** ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας.[m] **7** Τότε
εἶπον, ‹Ἰδοὺ ἥκω—ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ—τοῦ ποιῆσαι, ὁ Θεός,
τὸ θέλημά σου.› » **8** Ἀνώτερον λέγων ὅτι «Θυσίαν καὶ προσφορὰν[n] καὶ
ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας» (αἵτινες κατὰ τὸν[o]
νόμον προσφέρονται), **9** τότε εἴρηκεν, «Ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά
σου.»[p] Ἀναιρεῖ τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ. **10** Ἐν ᾧ θελήματι ἡγιασμένοι
ἐσμὲν οἱ[q] διὰ τῆς προσφορᾶς τοῦ σώματος[r] Ἰησοῦ Χριστοῦ ἐφάπαξ.

### *Christ perfects forever*

**11** Καὶ πᾶς μὲν ἱερεὺς[s] ἕστηκεν καθ᾽ ἡμέραν λειτουργῶν καὶ τὰς αὐτὰς πολλάκις
προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· **12** αὐτὸς[t] δέ, μίαν
ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν εἰς τὸ διηνεκές, ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ·
**13** τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ,
**14** μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

---

[g] νυν **f**$^{35}$ [92%] RP,HF,OC,TR,CP ¦ νυνι ℵA,C [8%] NU
[h] αθετησιν **f**$^{35}$ **𝔓**$^{46}$C [98%] RP,HF,OC,TR,CP ¦ 1 της ℵA,I [2%] [NU]
[i] και **f**$^{35}$ **𝔓**$^{46}$ℵA,C [95%] RP,HF,OC,CP,NU ¦ --- [5%] TR
[j] δυναται **f**$^{35}$ **𝔓**$^{46}$ [40%] OC,TR,CP,NU ¦ δυνανται ℵA,C [59%] RP,HF ¦ --- [1%] (The subject of the verb is 'the law' [sg], not 'the sacrifices' [pl]; **𝔓**$^{46}$ preserves the correct reading.)
[k] ουκ *rell* ¦ --- [5%] CP
[l] κεκαθαρμενους **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ κεκαθαρισμενους **𝔓**$^{46}$ℵ [4%] NU ¦ κεκαθερισμενους A,C [1%]
[m] ευδοκησας *rell* ¦ ηυδοκησας C [15%] (This statement obtains in verse 8 below as well.)
[n] θυσιαν και προσφοραν **f**$^{35}$ I [96%] RP,HF,OC,TR,CP ¦ θυσιας 2 προσφορας ℵA,C [4%] NU
[o] τον **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,C [10%] NU
[p] ο θεος το θελημα σου **f**$^{35}$ (71.6%) RP,HF,OC,TR ¦ 12 μου 345 (2.6%) ¦ ~ 34512 (5.4%) ¦ ~ 34512 μου (4.5%) CP ¦ 345 **𝔓**$^{46}$ℵA,C (15.1%) NU ¦ three other variants (0.9%)
[q] οι **f**$^{35}$ [90%] RP,HF,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,C [9%] OC,NU ¦ ημεις [1%]
[r] σωματος **f**$^{35}$ **𝔓**$^{46}$ℵA,C [95%] RP,HF,CP,NU ¦ 1 του [5%] OC,TR
[s] ιερευς **f**$^{35}$ **𝔓**$^{46,79v}$ℵ [80%] RP,HF,OC,TR,NU ¦ αρχιερευς A,C [20%] CP
[t] αυτος **f**$^{35}$ [92%] RP,HF,OC,TR,CP ¦ ουτος **𝔓**$^{13,46,79v}$ℵA,C [8%] NU

**15** Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μετὰ γὰρ τὸ προειρηκέναι·[u]
**16** « ‹Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας,› λέγει
Κύριος, ‹διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν καὶ ἐπὶ τῶν διανοιῶν[v] αὐτῶν
ἐπιγράψω αὐτούς,[w] **17** καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ
μνησθῶ[x] ἔτι.› » **18** Ὅπου δὲ ἄφεσις τούτων,[y] οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.

*Hold fast the confession of hope*

**19** Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν Ἁγίων ἐν τῷ αἵματι[z]
Ἰησοῦ, **20** ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος,
τοῦτ᾽ ἔστιν, τῆς σαρκὸς αὐτοῦ, **21** καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ,
**22** προσερχώμεθα[a] μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι[b]
τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένοι[c] τὸ σῶμα[d] ὕδατι καθαρῷ.
**23** Κατέχωμεν[e] τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ, πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος.
**24** Καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, **25** μὴ
ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν (καθὼς ἔθος τισίν), ἀλλὰ παρακαλοῦντες,
καὶ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

*A severe warning*

**26** Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς
ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, **27** φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως
καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. **28** Ἀθετήσας τις νόμον
Μωϋσέος[f] χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶν[g] μάρτυσιν ἀποθνήσκει. **29** Πόσῳ,
δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ
αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος
ἐνυβρίσας; **30** Οἴδαμεν γὰρ τὸν εἰπόντα, «Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει
Κύριος»·[h] καὶ πάλιν, «Κύριος κρινεῖ[i] τὸν λαὸν αὐτοῦ.» **31** Φοβερὸν τὸ ἐμπεσεῖν εἰς
χεῖρας Θεοῦ ζῶντος.

*A word of encouragement*

**32** Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας ἐν αἷς, φωτισθέντες, πολλὴν ἄθλησιν
ὑπεμείνατε παθημάτων· **33** τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσιν θεατριζόμενοι,

---

[u] προειρηκεναι **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ειρηκεναι 𝔓$^{13,46}$אA,C [5%] NU
[v] επι των διανοιων **f**$^{35}$ (91.6%) RP,HF,OC,TR,CP ¦ 1 την διανοιαν 𝔓$^{13,46}$אA,B,C,I (4.2%) NU ¦ εις την διανοιαν (3.5%) ¦ --- [homoioteleuton] (0.7%)
[w] αυτους *rell* ¦ 1 υστερον λεγει [15%] ¦ 1 τοτε ειρηκεν [1%]
[x] μνησθω **f**$^{35}$ 𝔓$^{46}$ [97%] RP,HF,OC,TR,CP ¦ μνησθησομαι 𝔓$^{13}$אA,C,I [3%] NU
[y] τουτων **f**$^{35}$ 𝔓$^{46}$A,C [95%] RP,HF,OC,TR,NU ¦ αυτων [5%] CP ¦ --- א
[z] αιματι *rell* ¦ 1 του OC
[a] προσερχωμεθα **f**$^{35}$ 𝔓$^{13}$אA,C [60%] RP,HF,OC,TR,CP,NU ¦ προσερχομεθα (𝔓$^{46}$) [40%]
[b] ερραντισμενοι **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ ρεραντισμενοι 𝔓$^{46}$אA,C [3%] NU
[c] λελουμενοι **f**$^{35}$ 𝔓$^{46}$A,C [95%] HF,OC,TR,CP ¦ λελουσμενοι א [5%] RP,NU
[d] το σωμα *rell* ¦ τω σωματι [15%]
[e] κατεχωμεν *rell* ¦ κατεχομεν [20%]
[f] μωυσεος **f**$^{35}$ [30%] CP ¦ μωυσεως אC [55%] RP,HF,OC,NU ¦ μωσεως A [15%] TR
[g] τρισιν *rell* ¦ τρισι OC
[h] λεγει κυριος **f**$^{35}$ A (96%) RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{13v,46}$א (4%) NU
[i] κυριος κρινει **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 אA [4%] NU ¦ 2 [1%]

τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων[j] γενηθέντες. **34** Καὶ γὰρ τοῖς δεσμοῖς
μου[k] συνεπαθήσατε· καί, τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς
προσεδέξασθε, γινώσκοντες ἔχειν ἑαυτοῖς[l] κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς[m] καὶ
μένουσαν.

**35** Μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.[n]
**36** Ὑπομονῆς γὰρ ἔχετε χρείαν ἵνα, τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν
ἐπαγγελίαν. **37** «Ἔτι γὰρ μικρὸν ὅσον ὅσον,[o] ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ.[p] **38** Ὁ
δὲ δίκαιος[q] ἐκ πίστεως ζήσεται, καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν
αὐτῷ.» **39** Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν
ψυχῆς.[r]

## About faith

**11:1** Ἔστιν δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.
**2** Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. **3** Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς
αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα[s] γεγονέναι.

### *Abel, Enoch, Noah*

**4** Πίστει πλείονα θυσίαν Ἄβελ[t] παρὰ Κάϊν προσήνεγκεν τῷ Θεῷ, δι᾽ ἧς
ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι᾽
αὐτῆς, ἀποθανών, ἔτι λαλεῖται.[u] **5** Πίστει Ἐνὼχ[v] μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ
οὐχ εὑρίσκετο[w] διότι μετέθηκεν[x] αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ[y]
μεμαρτύρηται εὐηρεστηκέναι[z] τῷ Θεῷ.

**6** Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι, πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον
τῷ Θεῷ ὅτι ἔστιν καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. **7** Πίστει,
χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθείς, κατεσκεύασεν κιβωτὸν
εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι᾽ ἧς κατέκρινεν τὸν κόσμον καὶ τῆς κατὰ πίστιν
δικαιοσύνης ἐγένετο κληρονόμος.

---

[j] αναστρεφομενων *rell* ¦ αναστρεφωμενων CP
[k] δεσμοις μου **f**$^{35}$ א (92.1%) RP,HF,OC,TR,CP ¦ 1 𝔓$^{46}$ (1.6%) ¦ δεσμιοις A (6.3%) NU
[l] εαυτοις **f**$^{35}$ [91%] CP,RP,HF ¦ εν 1 [4%] OC,TR ¦ εαυτους 𝔓$^{13,46}$אA [4%] NU ¦ --- [1%]
[m] εν ουρανοις **f**$^{35}$ (97%) RP,HF,OC,TR,CP ¦ 1 τοις 2 (0.9%) ¦ --- 𝔓$^{13,46}$אA (1.7%) NU ¦ two other variants (0.3%)
[n] μισθαποδοσιαν μεγαλην **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 𝔓$^{46}$אA [5%] NU
[o] οσον *rell* ¦ --- [15%] ¦ οθεν [1%]
[p] χρονιει **f**$^{35}$ A [98%] RP,HF,OC,TR,CP ¦ χρονισει 𝔓$^{46}$א [2%] NU
[q] δικαιος **f**$^{35}$ 𝔓$^{13}$ [97%] RP,HF,OC,TR,CP ¦ 1 μου 𝔓$^{46}$אA [3%] NU
[r] ψυχης *rell* ¦ --- CP
[s] τα βλεπομενα **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ το βλεπομενον 𝔓$^{13}$אA [4%] NU
[t] ἀβελ **f**$^{35}$ [80%] RP,OC,TR,CP ¦ ἁβελ אA [20%] HF,NU
[u] λαλειται **f**$^{35}$ [91%] RP,HF,OC,TR,CP ¦ λαλει 𝔓$^{13,46}$אA [8%] NU ¦ μαρτυρειται [1%]
[v] ἐνωχ **f**$^{35}$ [80%] OC,TR,CP ¦ ἑνωχ אA [20%] RP,HF,NU
[w] ευρισκετο **f**$^{35}$ [92%] RP,HF,OC,TR,CP ¦ ηυρισκετο 𝔓$^{46}$אA [8%] NU
[x] μετεθηκεν *rell* ¦ μετετεθηκεν א [10%] ¦ μετατεθηκεν [2%] CP
[y] αυτου **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{13,46}$אA [4%] NU
[z] ευηρεστηκεναι **f**$^{35}$ 𝔓$^{46}$א [75%] RP,HF,OC,TR,CP ¦ ευαρεστηκεναι A [25%] NU (Soden here mentions **K**$^{r}$ specifically for the second time and assigns it to the minority reading, but he is certainly in error.)

## *Abraham and Sarah*

**8** Πίστει, καλούμενος Ἀβραάμ, ὑπήκουσεν ἐξελθεῖν[a] εἰς τὸν[b] τόπον ὃν ἤμελλεν[c] λαμβάνειν εἰς κληρονομίαν καὶ ἐξῆλθεν, μὴ ἐπιστάμενος ποῦ ἔρχεται. **9** Πίστει παρῴκησεν[d] εἰς[e] γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας, μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς· **10** ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

**11** Πίστει καὶ αὐτὴ Σάρρα[f] δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβεν, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν,[g] ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. **12** Διὸ καὶ ἀφ᾽ ἑνὸς ἐγεννήθησαν,[h] καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς ἡ[i] ἄμμος[j] ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

## *Seeking a heavenly homeland*

**13** Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες—μὴ λαβόντες[k] τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες[l] καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. **14** Οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσιν. **15** Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ᾽ ἧς ἐξῆλθον,[m] εἶχον ἂν καιρὸν ἀνακάμψαι. **16** Νῦν[n] δὲ κρείττονος ὀρέγονται, τοῦτ᾽ ἔστιν, ἐπουρανίου. Διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασεν γὰρ αὐτοῖς πόλιν.

## *Patriarchs*

**17** Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαάκ, πειραζόμενος· καί, τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, **18** πρὸς ὃν ἐλαλήθη ὅτι «Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα,» **19** λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

**20** Πίστει[o] περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ.[p] **21** Πίστει Ἰακώβ, ἀποθνήσκων, ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. **22** Πίστει Ἰωσήφ, τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσεν καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.

---

[a] εξελθειν *rell* ¦ εξελθων CP
[b] τον **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA [3%] NU
[c] ημελλεν **f**$^{35}$ **𝔓**$^{46}$ℵA [75%] RP,HF,TR,NU ¦ εμελλεν [25%] OC,CP
[d] παρωκησεν **f**$^{35}$ **𝔓**$^{46}$ℵA [90%] RP,HF,OC,TR,NU ¦ 1 αβρααμ [10%] CP
[e] εις **f**$^{35}$ **𝔓**$^{46}$ℵA [80%] RP,HF,CP,NU ¦ 1 την [20%] OC,TR (Soden here mentions **K**$^{r}$ specifically for the third time and assigns it to the minority reading, but he is certainly in error.)
[f] σαρρα **f**$^{35}$ **𝔓**$^{13v}$ℵA [84%] RP,HF,OC,TR ¦ 1 στειρα **𝔓**$^{46}$ [2%] NU ¦ 1 η στειρα [4%] ¦ 1 στειρα ουσα [10%] CP
[g] ετεκεν **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- **𝔓**$^{13v,46}$ℵA [3%] NU
[h] εγεννηθησαν **f**$^{35}$ ℵ [90%] RP,HF,OC,TR,CP,NU ¦ εγενηθησαν **𝔓**$^{46}$A [10%] Nestle$^{24}$
[i] ως η **f**$^{35}$ **𝔓**$^{46}$ℵA [95%] RP,HF,OC,TR,CP ¦ ωσει [5%] TR
[j] αμμος *rell* ¦ αμος CP
[k] λαβοντες **f**$^{35}$ **𝔓**$^{46}$ (90.3%) RP,HF,OC,TR,CP ¦ κομισαμενοι ℵI (8.8%) NU ¦ προσδεξαμενοι A [alone] ¦ --- (0.7%)
[l] ιδοντες **f**$^{35}$ **𝔓**$^{46}$ℵA [98%] RP,HF,OC,CP,NU ¦ 1 και πεισθεντες [2%] TR
[m] εξηλθον **f**$^{35}$ (96.8%) RP,HF,OC,TR,CP ¦ εξεβησαν **𝔓**$^{46v}$ℵA (2.8%) NU ¦ two other variants (0.4%)
[n] νυν **f**$^{35}$ **𝔓**$^{46}$ℵA [95%] RP,HF,OC,CP,NU ¦ νυνι [5%] TR
[o] πιστει **f**$^{35}$ ℵ [92%] RP,HF,OC,TR,CP ¦ 1 και **𝔓**$^{46}$A [8%] NU
[p] ἡσαυ **f**$^{35}$ [30%] ¦ ἠσαυ ℵA [70%] RP,HF,OC,TR,CP,NU

### *Moses*

**23** Πίστει Μωϋσῆς, γεννηθείς, ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι
εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. **24** Πίστει
Μωϋσῆς, μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ, **25** μᾶλλον
ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας
ἀπόλαυσιν, **26** μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου[q] θησαυρῶν τὸν
ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπεν γὰρ εἰς τὴν μισθαποδοσίαν. **27** Πίστει κατέλιπεν
Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, τὸν γὰρ Ἀόρατον ὡς ὁρῶν
ἐκαρτέρησεν. **28** Πίστει πεποίηκεν τὸ Πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ
ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. **29** Πίστει διέβησαν τὴν Ἐρυθρὰν Θάλασσαν
ὡς διὰ ξηρᾶς,[r] ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.

**30** Πίστει τὰ τείχη Ἱεριχὼ[s] ἔπεσεν,[t] κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. **31** Πίστει Ῥαὰβ
ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασιν, δεξαμένη τοὺς κατασκόπους μετ᾽ εἰρήνης.

### *Exploits achieved through faith*

**32** Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με[u] διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ
τε καὶ[v] Σαμψὼν καὶ[w] Ἰεφθάε, Δαυίδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν, **33** οἳ διὰ
πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν,
ἔφραξαν στόματα λεόντων, **34** ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας,[x]
ἐνεδυναμώθησαν[y] ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς
ἔκλιναν ἀλλοτρίων. **35** Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι
δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως
τύχωσιν. **36** Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ
φυλακῆς. **37** Ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν,[z] ἐν φόνῳ μαχαίρας[a]
ἀπέθανον. Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι,
κακουχούμενοι[b] **38**—ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος—ἐν[c] ἐρημίαις πλανώμενοι καὶ ὄρεσιν
καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

**39** Καὶ οὗτοι πάντες, μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν
ἐπαγγελίαν, **40** τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν
τελειωθῶσιν.

---

[q] αιγυπτου **f**$^{35}$ א [84%] RP,HF,OC,CP,NU ¦ εν 1 A ¦ εν αιγυπτω [15%] TR ¦ αιγυπτιων [1%]
[r] ξηρας **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ 1 γης 𝔓$^{13,46}$אA,0227 [5%] NU
[s] ἱεριχω **f**$^{35}$ [80%] OC,TR,CP ¦ ἰεριχω אA [20%] RP,HF,NU
[t] επεσεν **f**$^{35}$ 𝔓$^{46}$ [94%] RP,HF,OC,TR,CP ¦ επεσαν אA [3%] NU ¦ κατεπεσεν [2%] ¦ επεσον [1%]
[u] γαρ με **f**$^{35}$ 𝔓$^{13,46}$ I [95%] RP,HF,OC,TR,CP ¦ ~ 21 אA [3%] NU ¦ 2 [2%]
[v] τε και **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{13,46}$אA,I [4%] NU
[w] και **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{13,46}$אA,I [5%] NU
[x] μαχαιρας **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ μαχαιρης 𝔓$^{46}$אA [3%] NU
[y] ενεδυναμωθησαν **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ εδυναμωθησαν 𝔓$^{13,46}$אA [3%] NU
[z] επρισθησαν επειρασθησαν **f**$^{35}$ 𝔓$^{13}$ A (88.4%) RP,HF,OC,TR,CP ¦ ~ 21 (א048) (3.4%) ¦ 1 𝔓$^{46}$ (7.5%) NU ¦ two other variants (0.7%)
[a] μαχαιρας **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ μαχαιρης 𝔓$^{46}$אA [3%] NU
[b] κακουχουμενοι *rell* ¦ κακοχουμενοι [20%]
[c] εν **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP ¦ επι 𝔓$^{13,46}$אA [3%] NU ¦ επ [3%]

*"Let us run with endurance"*

**12:1** Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων,
ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον[d] ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν[e]
τὸν προκείμενον ἡμῖν ἀγῶνα, **2** ἀφορῶντες εἰς τὸν τῆς πίστεως Ἀρχηγὸν καὶ
Τελειωτήν, Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινεν σταυρόν,
αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν.[f]

*All legitimate children receive discipline*

**3** Ἀναλογίσασθε γὰρ[g] τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς
αὐτὸν[h] ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. **4** Οὔπω μέχρις
αἵματος ἀντικατέστητε[i] πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. **5** Καὶ ἐκλέλησθε τῆς
παρακλήσεως ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· «Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου,
μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος· **6** ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ
πάντα υἱὸν ὃν παραδέχεται.»

**7** Εἰ[j] παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν[k] υἱὸς ὃν
οὐ παιδεύει πατήρ; **8** Εἰ δὲ χωρίς ἐστε παιδείας (ἧς μέτοχοι γεγόνασιν πάντες), ἄρα
νόθοι ἐστὲ καὶ οὐχ υἱοί.[l] **9** Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς
καὶ ἐνετρεπόμεθα. Οὐ πολλῷ[m] μᾶλλον[n] ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων καὶ
ζήσομεν; **10** Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ
ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. **11** Πᾶσα δὲ παιδεία πρὸς
μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾽
αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύνης.

*Watch your step!*

**12** Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, **13** καὶ
τροχιὰς[o] ὀρθὰς ποιήσατε[p] τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

**14** Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν
Κύριον· **15** ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, μή τις ῥίζα
πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ διὰ ταύτης[q] μιανθῶσιν πολλοί, **16** μή τις πόρνος, ἢ

---

[d] ευπεριστατον *rell* ¦ απεριστατον CP
[e] τρεχωμεν *rell* ¦ τρεχομεν [20%]
[f] κεκαθικεν $\mathbf{f}^{35}$ אA [95%] RP,HF,OC,CP,NU ¦ εκαθισεν 𝔓$^{46}$ [5%] TR
[g] γαρ $\mathbf{f}^{35}$ 𝔓$^{46}$אA [90%] RP,HF,OC,TR,NU ¦ ουν [10%] CP
[h] αυτον $\mathbf{f}^{35}$ (91.8%) RP,HF,OC,TR,CP ¦ αυτους 𝔓$^{13,46}$ (3.6%) ¦ εαυτον A (2.7%) NU ¦ εαυτους א (1.1%) ¦ four other readings 048 (0.9%)
[i] αντικατεστητε $\mathbf{f}^{35}$ אA [83%] RP,HF,OC,TR,CP,NU ¦ αντεκατεστητε [15%] ¦ αντικατεστηκεν 𝔓$^{46}$ ¦ αντεστητε [2%]
[j] ει $\mathbf{f}^{35}$ [35%] OC,TR,CP ¦ εις אA [65%] RP,HF,NU
[k] εστιν $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{13}$אA,I [3%] NU
[l] εστε και ουχ υιοι $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR(CP) ¦ ~ 2341 𝔓$^{46}$אA [3%] NU
[m] πολλω $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ πολυ 𝔓$^{46}$אA [2%] NU ¦ --- [1%]
[n] μαλλον $\mathbf{f}^{35}$ אA,I,048 [98%] RP,HF,OC,TR,CP ¦ δε 1 𝔓$^{13,46}$ [2%] NU
[o] τροχιας *rell* ¦ πραχιας CP
[p] ποιησατε $\mathbf{f}^{35}$ A [96%] RP,HF,OC,TR,CP ¦ ποιειτε 𝔓$^{46}$אC [3%] NU ¦ ποιησετε 048 [1%]
[q] δια ταυτης $\mathbf{f}^{35}$ א (84.3%) RP,HF,OC,TR,CP ¦ δι αυτης 𝔓$^{46}$A,048 (15.7%) NU

βέβηλος ὡς Ἡσαῦ,[r] ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο[s] τὰ πρωτοτόκια αὑτοῦ.[t] **17** Ἴστε
γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν ἀπεδοκιμάσθη· μετανοίας
γὰρ τόπον οὐχ εὗρεν, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

### *Sinai vs Zion*

**18** Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει καὶ[u] κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ
σκότῳ[v] καὶ θυέλλῃ· **19** καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες
παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον **20** (οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον·
«Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται»·[w] **21** καὶ οὕτως[x] φοβερὸν ἦν τὸ
φανταζόμενον, Μωϋσῆς εἶπεν, «Ἔκφοβός εἰμι καὶ ἔντρομος») **22** ἀλλὰ
προσεληλύθατε Σιὼν Ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ[y] ἐπουρανίῳ, καὶ
μυριάσιν ἀγγέλων πανηγύρει, **23** καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς
ἀπογεγραμμένων,[z] καὶ Κριτῇ Θεῷ πάντων, καὶ πνεύμασιν δικαίων τετελειωμένων,
**24** καὶ διαθήκης νέας Μεσίτῃ, Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ κρεῖττον[a] λαλοῦντι παρὰ
τὸ[b] Ἄβελ.[c]

### *Warning: "Our God is a consuming fire"*

**25** Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. Εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον,[d] τὸν ἐπὶ[e]
γῆς παραιτησάμενοι[f] χρηματίζοντα, πολλῷ[g] μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ᾽ οὐρανοῦ[h]
ἀποστρεφόμενοι· **26** οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσεν τότε, νῦν δὲ ἐπήγγελται λέγων,
«Ἔτι ἅπαξ ἐγὼ σείω[i] οὐ μόνον τὴν γῆν ἀλλὰ καὶ τὸν οὐρανόν.» **27** Τὸ δὲ ‹ἔτι ἅπαξ›
δηλοῖ τῶν σαλευομένων τὴν[j] μετάθεσιν (ὡς πεποιημένων), ἵνα μείνῃ τὰ μὴ
σαλευόμενα.

---

[r] ήσαυ **f**$^{35}$ [30%] ¦ ἡσαυ ℵA [70%] RP,HF,OC,TR,CP,NU

[s] απεδοτο **f**$^{35}$ ℵ [97%] RP,HF,OC,TR,CP ¦ απεδετο 𝔓$^{46}$A,C [3%] NU

[t] αυτου **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ εαυτου ℵA,C [3%] NU ¦ --- 𝔓$^{46}$

[u] ψηλαφωμενω ορει και **f**$^{35}$ (94%) RP,HF,OC,TR,CP ¦ ~ 213 (2.3%) ¦ 12 (1.6%) ¦ 13 𝔓$^{46}$ℵA,C,048 (2.1%) NU ¦ scattered among the variants (1%) have ψηλαφομενω

[v] και σκοτω **f**$^{35}$ (93.3%) RP,HF,OC,TR,CP ¦ 1 σκοτει 𝔓$^{46}$ (0.5%) ¦ 1 ζοφω ℵA,C,048 (4.8%) NU ¦ --- (1.4%)

[w] λιθοβοληθησεται *rell* ¦ 1 η βολιδι κατατοξευθησεται [4%] TR

[x] ουτως C [70%] RP,TR,CP ¦ ουτω **f**$^{35}$ ℵA [30%] HF,OC,NU (I include this to illustrate that many MSS do not drop the final ς before a consonant, even in the minuscule period; which reinforces my suspicion that the practice did not obtain in the Autographs.)

[y] ἱερουσαλημ **f**$^{35}$ [80%] RP,OC,TR,CP ¦ ἰερουσαλημ ℵA [20%] HF,NU

[z] εν ουρανοις απογεγραμμενων **f**$^{35}$ 0228 [85%] RP,HF,OC,TR,CP ¦ ~ 312 𝔓$^{46}$ℵA,C,048 [15%] NU

[a] κρειττον **f**$^{35}$ ℵA,C [95%] RP,HF,OC,CP,NU ¦ κρειττονα 𝔓$^{46}$ [5%] TR

[b] το **f**$^{35}$ 𝔓$^{46}$ [30%] HF ¦ τον ℵA [70%] RP,OC,TR,CP,NU

[c] ἀβελ **f**$^{35}$ [80%] OC,TR,CP ¦ ἁβελ ℵA [20%] RP,HF,NU

[d] εφυγον **f**$^{35}$ 𝔓$^{46}$ [97%] RP,HF,OC,TR,CP ¦ εξεφυγον ℵA,C,I,048 [3%] NU

[e] επι *rell* ¦ 1 της (1.2%) OC,TR

[f] τον επι (+της OC) γης παραιτησαμενοι **f**$^{35}$ 𝔓$^{46}$ (91.8%) RP,HF(OC)TR,CP ¦ ~ 4123 (4.1%) ¦ 123 (1.2%) ¦ ~ 2341 ℵA,C,I,048 (2.3%) NU ¦ three other variants (0.5%)

[g] πολλω **f**$^{35}$ 𝔓$^{46}$ [96%] RP,HF,OC,TR,CP ¦ πολυ ℵA,C [3%] NU ¦ ποσω [1%]

[h] ουρανου **f**$^{35}$ ℵ [40%] CP ¦ ουρανων 𝔓$^{46}$A,C [60%] RP,HF,OC,TR,NU

[i] σειω **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ σεισω 𝔓$^{46}$ℵA,C,I,048 [3%] NU

[j] των σαλευομενων την **f**$^{35}$ (94%) RP,HF,OC,TR,CP ¦ 12 𝔓$^{46}$048 (2.1%) ¦ ~ 312 ℵA,C (3.4%) [NU] ¦ one other variant (0.5%)

**28** Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν[k] χάριν δι᾽ ἧς λατρεύομεν[l]
εὐαρέστως τῷ Θεῷ, μετὰ αἰδοῦς καὶ εὐλαβείας·[m] **29** καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ
καταναλίσκον.

## Practical instructions

**13:1** Ἡ φιλαδελφία μενέτω. **2** Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε, διὰ ταύτης γὰρ
ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. **3** Μιμνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι,
τῶν κακουχουμένων[n] ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. **4** Τίμιος ὁ γάμος ἐν πᾶσιν καὶ ἡ
κοίτη ἀμίαντος, πόρνους δὲ[o] καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. **5** Ἀφιλάργυρος ὁ τρόπος,
ἀρκούμενοι τοῖς παροῦσιν, αὐτὸς γὰρ εἴρηκεν, «Οὐ μή σε ἀνῶ, οὐδ᾽ οὐ μή σε
ἐγκαταλίπω.»[p] **6** Ὥστε θαρροῦντας ἡμᾶς λέγειν· «Κύριος ἐμοὶ βοηθός, καὶ[q] οὐ
φοβηθήσομαι. Τί ποιήσει μοι ἄνθρωπος;»

**7** Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ,
ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. **8** Ἰησοῦς
Χριστὸς χθὲς[r] καὶ σήμερον, ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας. **9** Διδαχαῖς ποικίλαις καὶ
ξέναις μὴ παραφέρεσθε,[s] καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν
οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.[t]

### *Join Jesus outside the camp*

**10** Ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ
λατρεύοντες.

**11** Ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα, περὶ ἁμαρτίας, εἰς τὰ Ἅγια διὰ τοῦ
ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς, **12** διὸ καὶ Ἰησοῦς,
ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν. **13** Τοίνυν
ἐξερχώμεθα[u] πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· **14** οὐ
γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν[v] ἐπιζητοῦμεν.

**15** Δι᾽ αὐτοῦ οὖν[w] ἀναφέρωμεν[x] θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔστιν,
καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. **16** (Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας
μὴ ἐπιλανθάνεσθε, τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.)

---

[k] εχωμεν **f**$^{35}$ A,C [75%] RP,HF,OC,TR,CP,NU ¦ εχομεν 𝔓$^{46}$א [25%]
[l] λατρευομεν **f**$^{35}$ א [85%] CP,RP,HF ¦ λατρευωμεν A,C,048 [15%] OC,TR,NU ¦ λατρευσωμεν 𝔓$^{46}$
[m] αιδους και ευλαβειας **f**$^{35}$ (90.4%) RP,HF,OC,TR,CP ¦ ~ 321 (3.2%) ¦ ~ 32 δεους (𝔓$^{46}$) אA,C(048) (3.4%) NU ¦ δεους 23 (1.2%) ¦ ~ 32 φοβου (1.4%) ¦ 12 ευσεβιας (0.4%)
[n] κακουχουμενων *rell* ¦ κακοχουμενον (C) [30%]
[o] δε **f**$^{35}$ C [96%] RP,HF,OC,TR,CP ¦ γαρ 𝔓$^{46}$אA [3%] NU ¦ --- [1%]
[p] εγκαταλιπω **f**$^{35}$ [50%] OC,TR,CP,NU ¦ εγκαταλειπω 𝔓$^{46}$אA,C [50%] RP,HF
[q] και **f**$^{35}$ 𝔓$^{46}$A [97%] RP,HF,OC,TR,CP[NU] ¦ --- אC [3%]
[r] χθες **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ εχθες 𝔓$^{46}$אA,C [5%] NU
[s] παραφερεσθε **f**$^{35}$ 𝔓$^{46}$אA,C [85%] RP,HF,OC,CP,NU ¦ περιφερεσθε [15%] TR
[t] περιπατησαντες **f**$^{35}$ C [98%] RP,HF,OC,TR,CP ¦ περιπατουντες 𝔓$^{46}$אA [2%] NU
[u] εξερχωμεθα *rell* ¦ εξερχομεθα [20%]
[v] μελλουσαν *rell* ¦ μενουσαν CP
[w] ουν **f**$^{35}$ A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$א [2%]
[x] αναφερωμεν *rell* ¦ αναφερομεν [20%]

*Concluding requests*

**17** Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν καὶ μὴ στενάζοντες (ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο).

**18** Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν[y] γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν
πᾶσιν καλῶς θέλοντες ἀναστρέφεσθαι· **19** περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι
ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

*Benediction*

**20** Ὁ δὲ Θεὸς τῆς εἰρήνης—ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν Ποιμένα τῶν προβάτων
τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν[z]—**21** καταρτίσαι
ὑμᾶς ἐν παντὶ ἔργῳ[a] ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν[b] τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.[c] Ἀμήν.

*Sign-off*

**22** Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως, καὶ γὰρ
διὰ βραχέων ἐπέστειλα ὑμῖν. **23** Γινώσκετε τὸν ἀδελφὸν[d] Τιμόθεον ἀπολελυμένον,
μεθ᾽ οὗ ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς.

**24** Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους. Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

**25** Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.[e,f]

---

[y] πεποιθαμεν **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ πειθομεθα 𝔓$^{46}$A,C [3%] NU ¦ πειθομαι [2%] ¦ οτι καλην θα ℵ (Aleph really got lost.)

[z] ιησουν **f**$^{35}$ 𝔓$^{46}$ℵA,C [90%] RP,HF,OC,TR,NU ¦ 1 χριστον [10%] CP

[a] εργω **f**$^{35}$ C (96.9%) RP,HF,OC,TR,CP ¦ 1 και λογω A (1.4%) ¦ --- ℵ (1.4%) NU ¦ τω 𝔓$^{46}$

[b] υμιν **f**$^{35}$ A,C [70%] RP,HF,OC,TR,CP ¦ ημιν 𝔓$^{46}$ℵ [30%] NU

[c] των αιωνων **f**$^{35}$ ℵA(C) [85%] RP,HF,OC,TR[NU] ¦ --- 𝔓$^{46}$ [15%] CP

[d] αδελφον **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ 1 ημων 𝔓$^{46}$ℵA,C [5%] NU

[e] αμην **f**$^{35}$ A,C [97%] RP,HF,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵI$^{v}$ [3%] NU

[f] The citation of **f**$^{35}$ is based on thirty-four MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1892, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 2554 is a 'perfect' representative of **f**$^{35}$ in Hebrews, as it stands, and the exemplars of 35, 1637, 2080 and 2723 may have been, while several others were off by only one variant. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Aegean, Constantinople, Bucharest, Trikala, Mt. Athos [six different monasteries], Athens, Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A$^{27}$, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of **f**$^{35}$. Please see the last footnote for Matthew for further information.